τῷ Ματταθια λέγοντες Ἄρχων καὶ ἔνδοξος καὶ μέγας εἶ ἐν τῇ
18 πόλει ταύτῃ καὶ ἐστηρισμένος υἱοῖς καὶ ἀδελφοῖς· [18]νῦν πρόσελθε
πρῶτος καὶ ποίησον τὸ πρόσταγμα τοῦ βασιλέως, ὡς ἐποίησαν
πάντα τὰ ἔθνη καὶ οἱ ἄνδρες Ιουδα καὶ οἱ καταλειφθέντες ἐν Ιε-
ρουσαλημ, καὶ ἔσῃ σὺ καὶ οἱ υἱοί σου τῶν φίλων τοῦ βασιλέως,
καὶ σὺ καὶ οἱ υἱοί σου δοξασθήσεσθε ἀργυρίῳ καὶ χρυσίῳ καὶ
19 ἀποστολαῖς πολλαῖς. [19]καὶ ἀπεκρίθη Ματταθιας καὶ εἶπεν φωνῇ
μεγάλῃ Εἰ πάντα τὰ ἔθνη τὰ ἐν οἴκῳ τῆς βασιλείας τοῦ βασιλέως
ἀκούουσιν αὐτοῦ ἀποστῆναι ἕκαστος ἀπὸ λατρείας πατέρων αὐτοῦ
20 καὶ ᾑρετίσαντο ἐν ταῖς ἐντολαῖς αὐτοῦ, [20]κἀγὼ καὶ οἱ υἱοί μου καὶ
21 οἱ ἀδελφοί μου πορευσόμεθα ἐν διαθήκῃ πατέρων ἡμῶν· [21]ἵλεως
22 ἡμῖν καταλιπεῖν νόμον καὶ δικαιώματα· [22]τῶν λόγων τοῦ βασιλέως
οὐκ ἀκουσόμεθα παρελθεῖν τὴν λατρείαν ἡμῶν δεξιὰν ἢ ἀριστεράν.
23 [23]καὶ ὡς ἐπαύσατο λαλῶν τοὺς λόγους τούτους, προσῆλθεν ἀνὴρ
Ιουδαῖος ἐν ὀφθαλμοῖς πάντων θυσιάσαι ἐπὶ τοῦ βωμοῦ ἐν Μωδεϊν
24 κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως. [24]καὶ εἶδεν Ματταθιας καὶ ἐ-
ζήλωσεν, καὶ ἐτρόμησαν οἱ νεφροὶ αὐτοῦ, καὶ ἀνήνεγκεν θυμὸν κατὰ
25 τὸ κρίμα καὶ δραμὼν ἔσφαξεν αὐτὸν ἐπὶ τὸν βωμόν· [25]καὶ τὸν
ἄνδρα τοῦ βασιλέως τὸν ἀναγκάζοντα θύειν ἀπέκτεινεν ἐν τῷ καιρῷ
26 ἐκείνῳ καὶ τὸν βωμὸν καθεῖλεν. [26]καὶ ἐζήλωσεν τῷ νόμῳ, καθὼς
27 ἐποίησεν Φινεες τῷ Ζαμβρι υἱῷ Σαλωμ. [27]καὶ ἀνέκραξεν Ματταθιας
ἐν τῇ πόλει φωνῇ μεγάλῃ λέγων Πᾶς ὁ ζηλῶν τῷ νόμῳ καὶ ἱστῶν
28 διαθήκην ἐξελθέτω ὀπίσω μου. [28]καὶ ἔφυγεν αὐτὸς καὶ οἱ υἱοὶ
αὐτοῦ εἰς τὰ ὄρη καὶ ἐγκατέλιπον ὅσα εἶχον ἐν τῇ πόλει.
29 [29]Τότε κατέβησαν πολλοὶ ζητοῦντες δικαιοσύνην καὶ κρίμα εἰς
30 τὴν ἔρημον καθίσαι ἐκεῖ, [30]αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ γυναῖκες
αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, ὅτι ἐσκληρύνθη ἐπ' αὐτοὺς τὰ κακά.
31 [31]καὶ ἀνηγγέλη τοῖς ἀνδράσιν τοῦ βασιλέως καὶ ταῖς δυνάμεσιν, αἳ
ἦσαν ἐν Ιερουσαλημ πόλει Δαυιδ ὅτι κατέβησαν ἄνδρες, οἵτινες
διεσκέδασαν τὴν ἐντολὴν τοῦ βασιλέως, εἰς τοὺς κρύφους ἐν τῇ
32 ἐρήμῳ. [32]καὶ ἔδραμον ὀπίσω αὐτῶν πολλοὶ καὶ κατελάβοντο αὐτοὺς

17 υιοις] pr. εν A || 18 ως] pr. και S*†, καθως pau. | εποιησαν] -σε(ν) SL | ανδρες] αρχοντες A† | συ και οι υιοι σου $1^0 \frown 2^0$ S*(†); pro οι υιοι $1^0$ hab. A mu. ο οικος | δοξασθηση S* La† || 22 των λογων pau. La] τον -γον S pl., τον νομον A† || 23 τους λογους τουτους > S*† | θυμιασαι A† | εν ult.] pr. του ScL | μωδε(ε)ιν] -δεειμ A: item in 9 19 13 25. 30, cf. 16 4 || 24 ετρομασαν ScL || 25 καθειλον S*† || 26 εζηλωσεν] εδωκαν S*† || 27 και ult. mu.] η S*† (quid Sc uoluerit, non liquet), > AL || 28 εφυγεν pau. La] -γον rel. || 30 εσκληρυνθη SA La] επληθυνθη pl.: idem add. S† ante τα κακα (Sc† superadd. και ante επληθ.) || 31 ταις δυν.] αι δυναμεις S Lap†: ad αι seq. adapt. | ανδρες] pr. οι S† | εντολην] βουλην S† | κρυφους] -φιους SL: item ScL in 36 (S*† κυφρους), κρυφιοις SL in 41: cf. 1 53 || 32 κατελαβοντο .. και] καταλαβοντες .. A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1096 UNIVERSITÄT LEIPZIG